**ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΝΕΦΕΛΑΙ**

Στ. οἴμοι κακοδαίμων, ἡμιθνὴς γενήσομαι. @1
Σω. ού μὴ λαλήσεις, άλλ' άκολουθήσεις έμοὶ (505)
ἀνύσας τι δευρὶ θᾶττον.
Στ. είς τὼ χεῖρέ νυν (506)
δός μοι μελιτοῦτταν πρότερον, ὡς δέδοικ' έγὼ
εἴσω καταβαίνων ὥσπερ είς Τροφωνίου.
Σω. χώρει. τί κυπτάζεις ἔχων περὶ τὴν θύραν;

Χο. άλλ' ἴθι χαίρων (509)
τῆς άνδρείας εἵνεκα ταύτης. (510)

εύτυχία γένοιτο τάν- (511)
θρώπῳ ὅτι προήκων
είς βαθὺ τῆς ἡλικίας
νεωτέροις τὴν φύσιν αὑ-
τοῦ πράγμασιν χρωτίζεται (515)
καὶ σοφίαν έπασκεῖ.

ὦ θεώμενοι, κατερῶ πρὸς ὑμᾶς έλευθέρως (517)
τάληθῆ, νὴ τὸν Διόνυσον τὸν έκθρέψαντά με.
οὕτω νικήσαιμί τ' έγὼ καὶ νομιζοίμην σοφὸς
ὡς ὑμᾶς ἡγούμενος εἶναι θεατὰς δεξιοὺς (520)
καὶ ταύτην σοφώτατ' ἔχειν τῶν έμῶν κωμῳδιῶν

**ΠΗΓΗ: K.J. Dover, *Aristophanes. Clouds*, Oxford: Clarendon Press, 1968 (repr. 1970): 7-88.**
Retrieved from: http://stephanus.tlg.uci.edu/Iris/Cite?0019:003:0